www.tezaurliturgic.ro

Ἱλαρίωνος Μοναχοῦ

# Κανὼν εἰς τὸν Ἅγιον Ἱερομάρτυρα Διονύσιον τὸν Ἀρεοπαγίτην

Ἦχος α΄

Ἅγιον Ὄρος

2018

ΑΘΩΝΙΚΗ ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ

## Ἕτερος εἰς τὸν Ἅγιον Ἱερομάρτυρα Διονύσιον τὸν Ἀρεοπαγίτην, οὗ ἡ ἀκροστιχίς, «Ἀρεοπαγίτου μνήμην ἐξάδω Σ.Ξ.», ἐν δὲ τοῖς Θεοτοκίοις «Ἱλαρίων Μ». Ἦχος α΄

*ᾨδὴ Α΄ Σοῦ ἡ τροπαιοῦχος δεξιά.*

Ἄρξασθαί μοι σθένωσον Θεέ, τῶν Πατέρων ἐλέους καὶ Κύριε, μνήμην τὴν σεβάσμιον ἐν ἱεραῖς, ᾠδαῖς ὑμνολογῆσαί με, τοῦ Διονυσίου, ἀξίως τοῦ θεοφάντορος.

Ῥήτορά σε θέμιδος σοφόν, ἡ γενέτειρα πρὶν προσεκτήσατο, νῦν δέ σε μακάριε μυσταγωγόν, τῶν θείων καὶ ἐκφάντορα, αὐχεῖ Ἐκκλησία, θεωριῶν Διονύσιε.

Ἐν σταυρῷ κρεμάμενος Σωτήρ, ἐσαλεύθη τῆς γῆς τὰ θεμέλια, ὅπερ ὁ θεσπέσιος κατανοῶν, θεράπων σου ἀνήγγειλε, πάσχειν σε τὸν Κτίστην, εἰς σωτηρίαν τοῦ κτίσματος.

*Θεοτοκίον.*

Ἱλαρὸν γὰρ δότην ὁ Θεός, ὡς ὁ Παῦλος τρανῶς ἀπεφήνατο, ἀγαπᾶ θεόνυμφε διὸ κἀμοῦ, τὸν πενιχρόν μου πρόσδεξαι, τουτονί τὸν ὕμνον, τὸν ἱλαρῶς σοι ἀδόμενον.

*ᾨδὴ Γ΄ Στερεωθήτω.*

Ὁ μαθητεύσας Διονύσιε, ἐκλογῆς τῷ σκεύει Χριστοῦ τοῦ Θεοῦ, καὶ πρὸς αὐτοῦ ἐκδιδαχθείς, τῆς ἀφάτου χρηστότητος, Ἱεράρχα πανσεβάσμιε, διὸ σὲ γεραίρομεν.

Ποιμὴν ἐδείχθης ἐκμιμούμενος, κορυφὴν τὸν σὸν Ἀρχιποίμενα, καὶ ὑμνολόγος ἱερός, τῆς Παρθένου πανένδοξε, ἐν καιρῷ τῆς πρὸς τὰ κρείττονα, αὐτῆς μεταστάσεως.

Αἰνεῖν ἐδίδαξας τρισόλβιε, τὸν Πατέρα καὶ τοῦτον τὸν Λόγον τρανῶς, καὶ Πνεῦμα Ἅγιον ὁμοῦ, ἐν Τριάδι ἑνότητα, τῶν προσώπων τῆς Θεότητος, σοφὲ Διονύσιε.

*Θεοτοκίον.*

Λυμαινομένων Μητροπάρθενε, τῶν ἀθεωτάτων κατάβαλε, καινοτομούντων τὴν ὀφρύν, τῇ σῇ ποίμνῃ καὶ δώρησαι, πατρικῶν τῶν παραδόσεων ἀεὶ ἡμᾶς ἔχεσθαι.

*Ὠιδὴ Δ' Ὄρος σε τῇ χάριτι.*

Γράμμασι τοῦ Πνεύματος, Θεὸν ἀνεκήρυξας, τὸν πεπονθότα ἐν σαρκί, Χριστὸν τοῖς ἔθνεσι σοφέ, δι' ὃν καὶ ἐξέχεας, ὡς Χριστομάρτυς τὸ αἷμά σου, τμηθεὶς τὴν κάραν κλεινὲ Διονύσιε.

Ἵλεων ἀπέργασαι, τὸν σὸν ἱερώτατε, Δεσπότην ὅπως καὶ ἡμῖν, τοῖς σὲ ἱκετεύουσι, πταισμάτων χαρίσασθαι ἀπαλλαγήν, καὶ εἰρηναίαν κατάστασιν, ὡς δυνατὸς ἐν ἰσχύϊ καὶ Κύριος.

Τέτρωσαι τῷ ἔρωτι, τῷ θείῳ καὶ κρείττονι, Χριστῷ γὰρ ὅλος συνετῶς, καθιερώθης τῷ Θεῷ, ποιμὴν Διονύσιε, τῶν Ἀθηνῶν ἀναδειχθεὶς θεοπρόβλητος, εἰς σωτηρίαν λαοῦ τοῦ Κυρίου σου.

*Θεοτοκίον.*

Ἅπασαι Παρθένε, ἀεὶ μακαρίζουσι, αἱ τῶν ἀνθρώπων γενεαί, ὡς τὸν συνάναρχον Πατρί, ἐν μήτρᾳ βαστάσασα, καὶ σωτηρίαν τῷ κόσμῳ τέτοκας, τὸν ὑπερούσιον Λόγον Ἄχραντε.

*Ὠιδὴ Ε' Ὁ φωτίσας τῇ ἐλλάμψει.*

Οὐρανίων μυστολέκτα, θεολόγων ὁ ἔνθεος νοῦς, τῷ φωτὶ τῶν σῶν λογίων, τὰς ψυχὰς τῶν ἀνυμνούντων σε, Ἱεράρχα ἔνδοξε Χριστοῦ, καταύγασον καὶ αἴτει, τὰ σωτηρίας ἐχόμενα.

Ὕμνοις στέψωμεν ἐνθέοις, τοῦ σεπτοῦ ἱερὰν ἑορτήν, τοῦ κλεινοῦ Διονυσίου τοῦ Ἱερομάρτυρος, ἐξαιτοῦντες πόθῳ ταῖς αὐτοῦ, πρὸς Κύριον πρεσβείαις, ἐπηρειῶν ἀπολύτρωσιν.

Μιμητὴς τῶν Ἀποστόλων τοῦ Κυρίου ἐδείχθης σοφέ, οἰκουμένης ὁ σὸς φθόγγος διεξῆλθε τὰ πέρατα, τὰς κεχερσωμένας τῶν ἐθνῶν, καρδίας ἐπιστρέφων, πρὸς τὸν Σωτῆρα θεσπέσιε.

*Θεοτοκίον.*
Ῥόδον ὤφθης ἐν τῷ μέσῳ, καθάπερ ἐν μέσῳ Ἁγνή, ἀκανθῶν ὡς τετοκυῖα, τὸν πλάστην τῆς φύσεως, κατευωδιάσασα τὴν πρίν, βροτῶν τὴν ἀπωσμένην, φύσιν Παρθένε ὡς πταίσασαν.

*Ὠιδὴ ΣΤ΄ Τὸν προφήτην Ἰωνᾶν.*
Νεκρωθέντος ἐν σταυρῷ, τοῦ Δεσπότου καὶ Θεοῦ, ἐξανέτειλε ζωή, ἥνπερ πᾶσι τοῖς ἐν γῇ, ἐξήγγειλας, ἱερομύστα, σθένει τοῦ Πνεύματος.
Ἡ σὴ ποίμνη τὴν φαιδράν, ἐκτελοῦσα ἑορτήν, Διονύσιε σοφέ, ἐπαγάλλεται τῶν σῶν, θεόληπτε, μάκαρ ζητοῦσα, ἱκεσιῶν πρὸς Θεόν.
Μίαν φύσιν ἐν τρισί, καὶ Θεότητα σαφῶς, Διονύσιε ἐκ σῆς, θεηγόρου διδαχῆς, ἐγνώκαμεν, ἀεὶ πιστεύειν, εἰς σωτηρίαν ἡμῶν.

*Θεοτοκίον.*
Ἱκεσίαις πρὸς τὸν σόν, τῶν δεινῶν τὰς προσβολάς, διασκέδασον Ἁγνή, τὸν Υἱόν καὶ τὴν αὐτοῦ, πρυτάνευσον, ἡμῖν εἰρήνην, ὅπως σε μέλπωμεν.

*Ὠιδὴ Ζ΄ Ἡ κάμινος Σωτήρ.*
Ἡ πόλις Ἀθηνῶν σε ἐκτήσατο, ποιμένα καὶ διδάσκαλον πάνσοφε, καὶ θεῖον πολιοῦχον, καὶ ἐν κινδύνοις ἀντιλήπτορα.
Νεφέλη τῇ Σιών σε ἠγάγετο, σὺν Μύσταις τοῦ Χριστοῦ Διονύσιε, κηδεῦσαι τὴν Μητέρα, Θεοῦ τοῦ ζῶντος ἱερώτατε.
Ἐνέθηκας τμηθεῖσαν τὴν κάραν σου, χερσί σου ταῖς χερσὶν ἱερόαθλε, γυναίου σωτηρίαν, αὐτῷ τρανῶς προμνηστευσάμενος.

*Θεοτοκίον.*
Ὡς θεῖον τοῦ Θεοῦ ἐνδιαίτημα, γινώσκοντες Παρθένε κραυγάζομεν, τῆς σῆς μὴ ὑστερήσης, ἡμᾶς συναντιλήψεως.

*Ὠιδὴ Η΄ Ἐν καμίνῳ παῖδες Ἰσραήλ.*



ΑΘΩΝΙΚΗ ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ

Ξυμπολίτην ξύμπνουν ἱερόν, καὶ συμφιλοσοφοῦντα, πανένδοξε ἔσχηκας Διονύσιε σοφέ, τὸν ἔνθεον ῥήτορα, Ἱερόθεον ἔνδοξον τὸν τοῦ ἐνδόξου, Ἄστεως Ἱεράρχην, τὸν τῷ θεηγόρῳ Παύλῳ μαθητευθέντα.
Ἀθεάτων καὶ ὑπερφυῶν, ἐπόπτης θεοφόρε, ἐν Βίβλῳ ἐξήγγειλας, Διονύσιε τρανῶς, εὐγλώττως τε πάνσοφε, ἀνωτάτῳ καὶ θείας ἱεραρχίας, μεθ' ἧς συνὼν ἀπαύστως, τὸν Κύριον δυσώπει, ὑπὲρ τῶν σὲ ὑμνούντων.
Δέχου ἱκεσίας παρ' ἡμῶν, τῶν σὲ ἱερομύστα, ἐκ πόθου ὑμνολογούντων, καὶ ἀξίωσον βοᾶν, τῶν παίδων τὴν αἴνεσιν, εὐλογεῖτε πάντα τὰ ἔργα Κυρίου, τὸν Κύριον ὑμνεῖτε, καὶ ὑπερυψοῦτε, εἰς πάντας τοὺς αἰῶνας.

*Θεοτοκίον.*

Νόμων Θεονύμφευτε χωρίς, τῶν μητρικῶν τῆς δόξης, τὸν Κύριον ἐν τῇ μήτρᾳ, ὑπεδέξω τῶν βροτῶν, τὴν φύσιν Πανάχραντε θεουργοῦντα, ὃν πάντα τὰ ἔργα, ὡς Κύριον ὑμνοῦσι, καὶ ὑπερυψοῦσιν εἰς πάντας τοὺς αἰῶνας.

*Ὠιδὴ Θ΄ Τύπον τῆς ἁγνῆς λοχείας σου.*

Ὤφθης Ἀποστόλων σύμψυχος, Ἱεραρχῶν τε καὶ Μαρτύρων ὁμότροπος, καὶ τῶν Προφητῶν, ὡς ὑποφήτης τοῦ Πνεύματος, πανσεβάσμιε σοφὲ Διονύσιε, διὸ τῶν ἐκτελούντων, τὴν ἱεράν σου μνήμην μέμνησο.
Σύμπας μοναστῶν ὁ σύλλογος, τῶν Ἀποστόλων ἐν Ναῷ πανεόρτιον, τελείσθω φαιδράν, καὶ χαρμοσύνοις ἐν ᾄσμασι, τοῦ ἐνδόξου τὴν μνήμην καὶ κήρυκος, σοφοῦ Διονυσίου, μέλπειν ὃν πίστει μακαρίσωμεν.
Ξίφει τοῦ Ἁγίου Πνεύματος, ἱεροφάντορ ὠρθοτόμησας ἔνδοξε, τὸν λόγον σαφῶς, τῆς ἀληθείας ἐδίδαξας, τοῦ πιστεύειν Πατρὶ καὶ τῷ Πνεύματι, καὶ τῷ Υἱῷ καὶ Λόγῳ, Μονάδι φύσει καὶ Θεότητι.

*Θεοτοκίον.*

Μήτηρ τοῦ Θεοῦ ὑπάρχουσα, καὶ Μήτηρ πάντων τῶν τὸ Ὄρος σου Ἄχραντε, οἰκούντων διό, τοὺς σοὺς υἱοὺς διαφύλαττε, ἀπὸ πάσης

ἀνάγκης καὶ θλίψεως, καὶ τοῦ Υἱοῦ σου Κόρη, τῆς Βασιλείας καταξίωσον.

*Προσόμοια.*
*Ὅλην ἀποθέμενοι. Ἦχος πλ.β΄*

Σκεύους ἐχρημάτισας, τῆς ἐκλογῆς Ἱεράρχα, μύστης Διονύσιε, ἐμφιλοσοφώτατα, τὰ ἀπόρρητα, τοῖς πιστοῖς ἅγιε, Πνεύματι τρανώσας, τῶν ἀθέων τὰ ἀπύλωτα, φιμώσας στόματα, στόμα τοῦ Χριστοῦ ἀναδέδειξαι, ὃν ἅπασι τοῖς ἔθνεσι, τέλειον Θεὸν ἀνεκήρυξας, καὶ ἄνθρωπον ἅμα, ὡς τέλειον ὃν ῥύσασθαι δεινῶν, τοῦ ἀρχεκάκου δυσώπησον, Πάτερ ἱερώτατε.

Πίστιν τὴν ἀμώμητον, τετηρηκὼς Ποιμενάρχα, πρὸς τὸ τέλος ἔφθασας, τὸ τοῦ μαρτυρίου σου, τὸ μακάριον, τῷ Χριστῷ σφάγιον, προσηνέχθης μάκαρ, καὶ ὡς θῦμα ἐθελούσιον, διὸ ἀπείληφας, πλούσια τὰ γέρα τῶν πόνων σου, τοὺς πόθῳ προσκυνοῦντάς σου, λείψανα τὰ θεῖα ἰάματα, ἀφθόνως παρέχεις, τοῖς σώμασι καὶ μώμους τῶν ψυχῶν, ταῖς πρὸς Χριστὸν ἱκεσίαις σου, αἴρεις Διονύσιε.

Ἴδε καὶ ἐπίσκεψαι, ὡς μιμητὴς τοῦ Δεσπότου, τὴν ἡμῶν ἀσθένειαν, καὶ ταῖς εὐπροσδέκτοις σου Διονύσιε, πρὸς Χριστὸν ἔνδοξε, ἱκεσίαις ὅθεν, ἱερόαθλε ἐνίσχυσον, τηρεῖν ἀσάλευτον, πίστιν ἀληθῆ τὴν θεόσδοτον, βεβήλων ἐκτρεπόμενοι, τὰς καινοτομίας καὶ δίαυλον, τελέσαι τοῦ βίου, ἀξίως καὶ ζωῆς ἐπιτυχεῖν, ἐν τοῖς ἁγίων σκηνώμασι, Χριστοῦ τοῦ Θεοῦ ἡμῶν.

Δέσποινα Πανύμνητε, σὺν τοῖς χοροῖς τῶν Ἀγγέλων, Προφητῶν τοῖς τάγμασι, Ἀποστόλων φάλαγξι, καὶ τοῖς Μάρτυσι, Ἀσκητῶν νέφεσι, καὶ Δικαίοις πᾶσι, τὸν Υἱόν σου ἐκδυσώπησον, ὃν ἐσωμάτωσας, αἵμασι τοῖς σοῖς Μητροπάρθενε, καὶ λύτρον κόσμῳ δέδωκας, λῦσαι τὰ ἡμῶν ἁμαρτήματα, καὶ ἐν μετανοίᾳ, ἡμᾶς ὡς ἀγαθὸς παραλαβεῖν, καὶ τοῦ πυρὸς ἐκλυτρώσηται, τοῦ διαιωνίζοντος.



ΑΘΩΝΙΚΗ ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ